## ΚΕΦ. ΤΕΤΑΡΤΟΝ.

### Περὶ ἐννοιῶν βάθους τε καὶ πλάτους.

Ἤτοι

Περὶ ἐννοιῶν τῶν ἐπὶ μέρους, καὶ Καθόλου· Ἔνθα καὶ περὶ τῶν πέντε καθόλου ἐννοιῶν ἐκ τῆς Πορφυρίου Εἰσαγωγῆς.

§. πδ΄.

Τά, δι' ὧν ἑκάστη τῶν ἐννοιῶν συνίσταται, καὶ συναπαρτίζεται γνωρίσματα, βάθος τῆς ἐννοίας καλεῖν εἰώθασι, καὶ περίληψιν. Ἐπεὶ δὲ τούτων τὰ μὲν ἀπαραιτήτως ἐνεῖναι νοεῖται (§. οδ΄.), τὰ δὲ μὴ ἀπαραιτήτως, ταύτητοι καὶ τοῦ βάθους τὸ μὲν ἀναγκαῖον λέγειν ἔγνωσαν, τὸ δὲ ἐκ τοῦ ἐνδεχομένου ὀνομάζειν. Ἀναγκαῖον μὲν οὖν κατὰ τὴν τοῦ σώματος ἔννοιαν, τὸ τριχῆ διαστατὸν εἶναι, καὶ ἀδιαχώρητον· οὐ γὰρ ἄλλως οἷόντε νοηθῆναι. Οὐκ ἀναγκαῖον δὲ τὸ εἶναι σφαιροειδές, καὶ θερμόν, ἢ λευκόν· καὶ γὰρ καὶ ἄλλως. Ἐκεῖνα μὲν οὖν, καὶ οὐσιώδη καλεῖν ἀξιοῦμεν, ταῦτα δὲ καὶ ἐπουσιώδη. Ἑκάτερον γέμει μετάτινος διαφορᾶς· τὰ μὲν γὰρ οὕτως ἐστὶν οὐσιώδη, ὡς αὐτῶν ἄνευ τὴν οὐσίαν μηδὲ εἶναι, μηδὲ νοεῖσθαι ὅλως, διὸ καὶ πρώτως ἄντις οὐσιώδη καλέσειεν αὐτά· οἷον ἐπὶ τοῦ τριγώνου τὸ τρεῖς ἔχειν γωνίας, καὶ πλευρὰς τρεῖς· καὶ ἐπὶ τοῦ πενταγώνου, τὸ πέντε. Τὰ δ' οὕτως, ὡς εἶναι μὲν μηδαμῶς, νοεῖσθαι δὲ καὶ μάλα. Ἐξ οὗ καὶ ἐπουσιώδη αὐτὰ πολλοῖς ἀποκαλεῖν ἀρέσκει· ἡμῖν δὲ οὐσιώδη μὲν ἐστίν, ἀλλὰ δευτέρως· τοιαῦτα δή, τὸ τὰς μὲν τρεῖς γωνίας ἐν ἐκείνῳ, δυσὶν ὀρθαῖς συνεξισοῦσθαι, τὰς δ' ἐν τούτῳ πέντε, ὀρθαῖς ἕξ. Καὶ τῶν ἐπουσιωδῶν δέ, τὰ μὲν πράγματι ἐστὶ χωριστά, οἷον τοῦ Σωκράτους τὸ διαλέγεσθαι, τὰ δ' ἀχώριστα, οἷον τὸ φαλακρὸν εἶναι.

§. πέ. Ἁπάσαις ταῖς διαγνωριζομέναις ἐννοίαις (§. νς΄. νζ.) τὸ βάθος συμπληροῦσιν αἱ ἐξ ὧν γνωρίζονται ἁπλούστεραι. Καὶ ταῖς ἐν συνθέσειτε, καὶ συμπλοκῇ (§. μγ΄. μδ΄.) αἱ ἐξ ὧν συντίθενται, καὶ συμπλέκονται. Καὶ ταῖς ἐν συγκρίσει δὲ ὁποιαδήποτε, (§. ξή.) αἱ ἐξ ὧν συγκρίνονται. Καὶ ταῖςγε μᾶλλον (§. οβ΄. ογ΄.), καὶ τὸ βάθος ἐπὶ τὸ μᾶλλον χωρεῖν εἰκός, ταῖς δὲ ἧττον, ἐπὶ τὸ ἧττον· τὰς δ' ἁπλουστάτας (§. μβ΄.), ὡς πάντῃ ἀγνωρίστους (§. μγ΄.), καὶ ἀβαθεῖς εἶναι ἀκόλουθον.





§. πς΄. Καθ' ὃ δὲ ἡ ἔννοια πρὸς πολλὰ τῶν ὄντων ἔχει προσεφαρμόζεσθαι, τὰ μιᾷ καὶ μόνῃ νοερᾷ ἐποπτείᾳ κατ' αὐτὴν περιλαμβανόμενα, τοῦτο πλάτος τῆς ἐννοίας εἶπον, καὶ ἔκτασιν. Οὕτως ἐπὶ Πλάτωνα, καὶ Σωκράτην, καὶ τοὺς λοιπούς, ἡ κατὰ τὸν ἄνθρωπον πλατύνεται ἔννοια. Ὁ γὰρ ἄνθρωπον νοήσας οὐ τόνδε μόνον, ἢ τόνδε, πάντας δὲ ἀδιαφόρως, ἢ τοιοῦτοι, συνείληφε. Καὶ ἐπὶ πάντα δὲ ὁμοίως κύκλον ἐκτείνεται ἡ κατὰ τὸν κύκλον. Καὶ ἐπὶ κίνησιν πᾶσαν, ἡ κατὰ τὴν κίνησιν. Καὶ δῆλον ἄρα, ὡς οὐδὲν ἄλλο τὸ κατὰ τὰς ἐννοίας πλάτος συνίστησιν, ἢ ἡ τούτων αὐτῶν πρὸς τὸ πολλάτε ἅμα, καὶ τούτων ἕκαστον ἐν μέρει παριστᾶν, ἀοριστία.

§. πζ. Παντὶ τῷ ἐπιστήσαντι, τήν, ἥπερ ἂν τύχοι, ἔννοιαν συνιδεῖν ῥᾴδιον κατὰ τὸ μᾶλλον καὶ ἧττον πλατυνομένην, ᾗπερ ἀντιστρόφως αὐτῷ κατὰ τὸ ἧττον καὶ μᾶλλον βαθύνεται· τῆς γὰρ ἀνθρώπου, φέρε, ἧς ἐν τῷ ζῶοντε καὶ λογικὸν εἶναι τὸ βάθος, ἐὰν μὲν ἀφαιρεθῇ τὸ λογικόν, ἐπὶ πάντα ἁπλῶς οἷς μέτεστι ζωῆς, ἀοριστήσει τὸ πλάτος· Ἐὰν δὲ ἀνάπαλιν ἐπὶ τῷ λογικῷ σωζομένῳ, προστεθῇ καὶ τὸ ἐκ τῆς φιλοσοφίας γνώρισμα, τοῦ βάθους πλεονάσαντος, ἡ ἔκτασις μειωθήσεται, καὶ ἐπὶ τὸ τινὰς τῶν πάντων ἀνθρώπων δηλοῦν, τοὺς φιλοσοφοῦντας δηλονότι μόνους, συσταλήσεται.

§. πή. Καὶ ἀντιπεπονθέναι τοιγαροῦν τὰς ἐννοίας οὕτω συμβαίνει, ὀλιγοβαθεῖς μὲν τὰς πολυπλατεῖς καθεστώσας, ὀλιγοπλατεῖς δὲ τὰς πολυβαθεῖς τοὐναντίον. Διὸ καὶ ἀβαθῶν τῶν ἁπλουστάτων (§. πέ.) οὐσῶν, ἀπλατεῖς ἔσονται αἱ μάλιστα σύνθετοι· ὧν τὸ μὲν αὐταῖς δι' ἀφαιρέσεως γίνεται (§. οθ΄.), τὸ δὲ διὰ συγκρίσεως. (§. ογ΄.). Οἷον δι' ἀφαιρέσεως τῶν ἰδιαζόντων τῷ Σωκράτει ἀπὸ τούτου, πάρεστι νοεῖν ἄνθρωπον ἁπλῶς· τῆς δὲ τοῦ λογικοῦ, τὸ ζῶον· τῆς δὲ τοῦ αἰσθητικοῦ καὶ ἐμψύχου, τὸ σῶμα· τῆς δὲ τοῦ τριχῆ διαστατοῦ, τὴν οὐσίαν· τῆς δὲ τοῦ αὐθυπάρκτου τὸ ὄν, τὸ ἁπλούστατον τῇ νοήσει, καὶ κατὰ πάντων νοούμενον, καὶ λεγόμενον. Ἐπανιὼν δέτις, καὶ τῷ μὲν ὄντι τὸ αὐθύπαρκτον προστιθείς, τῷ